# Orfická testimonia

Diels-Kranz 1 A

**A 1** = Sudás, s. v. *Orfeus*

Ὀρφεὺς Λειβήθρων τῶν ἐν Θρᾴκηι (πόλις δέ ἐστιν ὑπὸ τῆι Πιερίαι), υἱὸς Οἰάγρου καὶ Καλλιόπης· ὁ δὲ Οἴαγρος πέμπτος ἦν ἀπὸ Ἄτλαντος, κατὰ Ἀλκυόνην μίαν τῶν θυγατέρων αὐτοῦ. γέγονε δὲ πρὸ ια γενεῶν τῶν Τρωικῶν· καί φασι μαθητὴν γενέσθαι αὐτὸν Λίνου, βιῶναι δὲ γενεὰς θ, οἱ δὲ ια φασίν. ἔγραψε· Τριαγμούς (λέγονται δὲ εἶναι Ἴωνος τοῦ τραγικοῦ (cfr. c. 36))· ἐν δὲ τούτοις τὰ Ἱεροστολικὰ καλούμενα, κλήσεις κοσμικαί. Νεωτευκτικά. Ἱεροὺς λόγους ἐν ῥαψωιδίαις κδ (λέγονται δὲ εἶναι Θεογνήτου τοῦ Θεσσαλοῦ, οἱ δὲ Κέρκωπος τοῦ Πυθαγορείου (c. 15)). Χρησμούς, οἳ ἀναφέρονται εἰς Ὀνομάκριτον. Τελετάς (ὁμοίως δέ φασι καὶ ταύτας Ὀνομακρίτου). [Λιθικά]· ἐν τούτοις δ᾽ ἔστι περὶ λίθων γλυφῆς, ἥτις Ὀγδοηκοντάλιθος ἐπιγράφεται. Σωτήρια· ταῦτα Τιμοκλέους τοῦ Συρακουσίου λέγεται ἢ Περσίνου τοῦ Μιλησίου. Κρατῆρας (1 A 1b; 2 A 7)· ταῦτα Ζωπύρου φασίν. Θρονισμοὺς μητρῴους καὶ Βακχικά· ταῦτα Νικίου τοῦ Ἐλεάτου φασὶν εἶναι. Εἰς Ἅιδου κατάβασιν· ταῦτα Ἡροδίκου τοῦ Περινθίου (cfr. c. 15). Πέπλον καὶ Δίκτυον (cfr. B 10a)· καὶ ταῦτα Ζωπύρου τοῦ Ἡρακλεώτου, οἱ δὲ Βροτίνου (c. 17,4). Ὀνομαστικόν, ἔπη ασ. Θεογονίαν, ἔπη ασ. Ἀστρονομίαν, Ἀμμοσκοπίαν (?), Θυηπολικόν, Ὠιοθυτικὰ ἢ Ὠιοσκοπικά, ἐπικῶς. Καταζωστικόν, Ὕμνους, Κορυβαντικόν, καὶ Φυσικά, ἃ Βροτίνου φασίν (Lobon fr. 7 Crönert).

Ὀρφεὺς Κροτωνιάτης ἐποποιός, ὃν Πεισιστράτωι συνεῖναι τῶι τυράννωι Ἀσκληπιάδης φησὶν ἐν τῶι ἕκτωι βιβλίωι τῶν Γραμματικῶν· Δωδεκαετηρίδας. Ἀργοναυτικὰ καὶ ἄλλα τινά.

Ὀρφεὺς Καμαριναῖος ἐποποιός, οὗ φασιν εἶναι τὴν Εἰς Ἅιδου κατάβασιν.

**A 1a** = Suda, s. v. *Hippos Nisaios*

Ἵππος Νισαῖος .... ἐν δὲ Δικτύωι Ὀρφεὺς λέγει, ὅτι ἡ Νίσα τόπος ἐστὶν ἐν Ἐρυθρᾶι κείμενος.

**A 1b** = Kléméns Alexandrijský, Stromata I,131,3

τοὺς μὲν ἀναφερομένους εἰς Μουσαῖον (cfr. 2 B 20a – B 22) Ὀνομακρίτου εἶναι λέγουσι, τὸν Κρατῆρα δὲ τὸν Ὀρφέως Ζωπύρου τοῦ Ἡρακλεώτου, τήν τε Εἰς Ἅιδου κατάβασιν Προδίκου τοῦ Σαμίου.

**A 2** /1 = Alkaios fr. 39a.7-10 = fr. 80 Diehl

τὸ γὰρ ἐμμόρμενον Ὄρ[φευς ἐβιάσδετο ]
[πάρφ]αις ἄνδρεσι τοῖς γεινο[μένοισιν θάνατον φύγην],
[αἰ πάντ]αι σόφος ἦι καὶ φρέσι πύκνα[ισι κεκάσμενος].
[νήπιο]ς, παρὰ μοῖραν Δίος οὐδὲ τρί[χες ἔρρυεν].

**A 2** /2 = Íbykos, fr. 25 = fr. 17 Diehl

... ὀνομακλυτὸν Ὀρφήν.

**A 3** = Aischylos, Agamemnon 1629

Ορφεῖ δὲ γλῶσσαν τὴν ἐναντίαν ἔχεις·
ὁ μὲν γὰρ ἦγε πάντ᾽ ἀπὸ φθογγῆς χαρᾶι...

**A 4** = Pausaniás, Graeciae descriptio X,30,6

ἀποβλέψαντι δὲ αὖθις ἐς τὰ κάτω τῆς γραφῆς ἔστιν ἐφεξῆς μετὰ τὸν Πάτροκλον οἷα ἐπὶ λόφου τινὸς Ὀρφεὺς καθεζόμενος, ἐφάπτεται δὲ καὶ τῆι ἀριστερᾶι κιθάρας, τῆι δὲ ἑτέραι χειρὶ ἰτέας κλῶνές εἰσιν ὧν ψαύει, προσανακέκλιται δὲ τῶι δένδρωι· τὸ δὲ ἄλσος ἔοικεν εἶναι τῆς Περσεφόνης, ἔνθα αἴγειροι καὶ ἰτέαι δόξηι τῆι Ὁμήρου (X,509) πεφύκασιν. Ἑλληνικὸν δὲ τὸ σχῆμά ἐστι τῶι Ὀρφεῖ καὶ οὔτε ἡ ἐσθὴς οὔτε ἐπίθημά ἐστιν ἐπὶ τῆι κεφαλῆι Θράικιον.

**A 5** /1 = Proklos, Schol. Hesiod. Opp. 631; p. 361, 6 Gaisf.

῾Ελλάνικος δ᾽ ἐν Φορωνίδι (F GrHist. 4 F 5; I,109) [δέκατον] ἀπὸ ᾽Ορφέως φησὶν εἶναι τὸν ῾Ησίοδον.

**A 5** /2 = Hérodotos, Historiae II,53,4

῾Ησίοδον γὰρ καὶ ῞Ομηρον ἡλικίην τετρακοσίοισι ἔτεσι δοκέω μευ πρεσβυτέρους γενέσθαι καὶ οὐ πλέοσι ... οἱ δὲ πρότερον ποιηταὶ λεγόμενοι τούτων τῶν ἀνδρῶν γενέσθαι ὕστερον ἔμοιγε δοκεῖν ἐγένοντο ... τὰ δὲ ὕστερα τὰ ἐς ῾Ησίοδόν τε καὶ ῞Ομηρον ἔχοντα ἐγὼ λέγω.

**A 6** = Eurípidés, Alcestis 357

εἰ δ᾽ ᾽Ορφέως μοι γλῶσσα καὶ μέλος παρῆν,
ὥστ᾽ ἢ κόρην Δήμητρος ἢ κείνης πόσιν
ὕμνοισι κηλήσαντά σ᾽ ἐξ ῞Αιδου λαβεῖν,
κατῆλθον ἄν.

**A 7** = Eurípidés, Alcestis 962

ἐγὼ καὶ διὰ μούσας
καὶ μετάρσιος ᾖξα καὶ
πλείστων ἁψάμενος λόγων
κρεῖσσον οὐδὲν ᾽Ανάγκας
ηὗρον, οὐδέ τι φάρμακον
Θρῄσσαις ἐν σανίσιν, τὰς
Ορφεία κατέγραψεν
γῆρυς, οὐδ᾽ ὅσα Φοῖβος ᾽Ασκληπιάδαις ἔδωκε
φάρμακα πολυπόνοις ἀντιτεμὼν βροτοῖσιν.

**A 8** = Eurípidés, Hippolytus 952

ἤδη νυν αὔχει καὶ δι᾽ ἀψύχου βορᾶς
σῖτ᾽ ἐκκαπήλευ᾽, ᾽Ορφέα τ᾽ ἄνακτ᾽ ἔχων
βάκχευε πολλῶν γραμμάτων τιμῶν καπνούς.

**A 9** = Eurípidés, Cyclops 646

ἀλλ᾽ οἶδ᾽ ἐπωιδὴν Ὀρφέως ἀγαθὴν πάνυ,
ὡς αὐτόματον τὸν δαλὸν εἰς τὸ κρανίον
στείχονθ᾽ ὑφάπτειν τὸν μονῶπα παῖδα γῆς.

**A 9a** = Eurípidés, Hypsipyle, Ox. Pap. VI n. 852 fr. 1; col. 3.8; p. 36 Hunt = 51 Arnim

Ὑψ[ιπύλη] ... μέσωι δὲ παρ᾽ ἱστῶι
Ἀσιὰς ἔλεγον ἰήιον
Θρῆισσ᾽ ἐβόα κίθαρις Ὀρφέως
μακροπόδων πιτύλων ἐρέτηισι κελεύσματα μελπομένα,
τοτὲ μὲν ταχύπλουν τοτὲ δ᾽ εἰλατίνας ἀνάπαυμα πλάτας.

**A 9b** = Eurípidés, Hypsipyle, fr. 64; col. 2; p. 70 Hunt = 66 Arnim

Ἔ Ϋ(νεως) Ἀργώ με καὶ τόνδ᾽ ἤγαγ᾽ εἰς Κόλχων πόλιν
ὙΨ(ιπύλη) ἀπομαστίδιόν γ᾽ ἐμῶν στέρνων.
ΕΥ ἐπεὶ δ᾽ Ἰάσων ἔθαν᾽ ἐμός, μῆτερ, πατήρ,
ΥΨ οἴμοι κακὰ λέγεις, δάκρυά τ᾽ ὄμμασιν,
τέκνον, ἐμοῖς δίδως῍
ΕΥ Ὀρφεύς με καὶ τόνδ᾽ ἤγαγ᾽ εἰς Θράικης τόπον,
ΥΨ τίνα πατέρι ποτὲ χάριν ἀθλίωι
τιθέμενος; ἔνεπέ μοι, τέκνον.
ΕΥ μοῦσάν με κιθάρας Ἀσιάδος διδάσκεται,
τοῦτον δ᾽ ἐς Ἄρεως ὅπλ᾽ ἐκόσμησεν μάχης.

**A 10** /1 = Eurípidés, Rhesus 943

μυστηρίων τε τῶν ἀπορρήτων φανάς
ἔδειξεν Ὀρφεύς, αὐτανέψιος νεκροῦ
τοῦδ᾽ ὃν κατακτείνεις σύ· Μουσαῖόν τε σόν
σεμνὸν πολίτην κἀπὶ πλεῖστον ἄνδρ᾽ ἕνα

ἐλθόντα Φοῖβος σύγγονοί τ᾿ ἠσκήσαμεν.

**A 10** /2 = Eurípidés, Rhesus 962-966

οὐκ εἶσι γαίας ἐς μελάγχιμον πέδον·
τοσόνδε νύμφην τὴν ἔνερθ᾿ αἰτήσομαι,
τῆς καρποποιοῦ παῖδα Δήμητρος θεᾶς,
ψυχὴν ἀνεῖναι τοῦδ᾿· ὀφειλέτις δέ μοι
τοὺς ᾿Ορφέως τιμῶσα φαίνεσθαι φίλους.

**A 11** = Aristofanés, Ranae 1032

᾿Ορφεὺς μὲν γὰρ τελετάς θ᾿ ἡμῖν κατέδειξε φόνων τ᾿ ἀπέχεσθαι, Μουσαῖος δ᾿ ἐξακέσεις τε νόσων καὶ χρησμούς.

**A 12** = Aristofanés, Aves 693

Χάος ἦν καὶ Νὺξ Ἔρεβός τε μέλαν πρῶτον καὶ Τάρταρος εὐρύς, Γῆ δ᾿ οὐδ᾿ ᾿Αὴρ οὐδ᾿ Οὐρανὸς ἦν· ᾿Ερέβους δ᾿ ἐν ἀπείροσι κόλποις τίκτει πρώτιστον ὑπηνέμιον Νὺξ ἡ μελανόπτερος ὠιόν, ἐξ οὗ περιτελλομέναις ὥραις ἔβλαστεν Ἔρως ὁ ποθεινός στίλβων νῶτον πτερύγοιν χρυσαῖν, εἰκὼς ἀνεμώκεσι δίναις. οὗτος δὲ Χάει πτερόεντι μιγεὶς νυχίωι κατὰ Τάρταρον εὐρύν ἐνεόττευσεν γένος ἡμέτερον καὶ πρῶτον ἀνήγαγεν εἰς φῶς. πρότερον δ᾿ οὐκ ἦν γένος ἀθανάτων, πρὶν Ἔρως ξυνέμειξεν ἅπαντα· ξυμμειγνυμένων δ᾿ ἑτέρων ἑτέροις γένετ᾿ Οὐρανὸς ᾿Ωκεανός τε καὶ Γῆ πάντων τε θεῶν μακάρων γένος ἄφθιτον.

**A 12a** = Timotheos Lyrik, Pers. 234 Wilamowitz

πρῶτος ποικιλόμουσος
᾿Ορφεὺς [χέλ]υν ἐτέκνωσεν
υἱὸς Καλλιόπας Πιερίας ἔπι.
Τέρπανδρος δ᾿ ἐπὶ τῶι δέκα
τεῦξε μοῦσαν ἐν ὠιδαῖς.

Text podle Timotheos Lyrik, fr. 15; col. 5, 221-227 D.L.Page:

πρῶτος ποικιλόμουσος
᾿Ορφεὺς [χέλ]υν ἐτέκνωσεν
υἱὸς Καλλιόπα[ς
] Πιερίαθεν·
Τέρπανδρος δ᾿ ἐπὶ τῶι δέκα
ζεῦξε μοῦσαν ἐν ὠιδαῖς·

**A 13** = Kléméns Alexandrijský, Stromata VI,15,2 (= Hippiás 86 B 6)

τούτων ἴσως εἴρηται τὰ μὲν ᾿Ορφεῖ τὰ δὲ Μουσαίωι κατὰ βραχὺ ἄλλωι ἀλλαχοῦ, τὰ δὲ ῾Ησιόδωι τὰ δὲ ῾Ομήρωι.

**A 13a** = Olympiodóros, in: Fótios, Bibliotheca c. 80; 61a31 Bekker

ταύτην καλεῖ ῾Ηρόδοτος (III,26) ᾿μακάρων νήσους᾿, ῾Ηρόδωρος δὲ ὁ τὴν ᾿Ορφέως καὶ Μουσαίου συγγράψας ἱστορίαν Φαιακίδα ταύτην καλεῖ.

**A 14** = Platón, Symposium 179d

᾿Ορφέα δὲ τὸν Οἰάγρου ἀτελῆ ἀπέπεμψαν ἐξ ῞Αιδου, φάσμα δείξαντες τῆς γυναικὸς ἐφ᾿ ἣν ἧκεν, αὐτὴν δὲ οὐ δόντες, ὅτι μαλθακίζεσθαι ἐδόκει, ἅτε ὢν κιθαρωιδός, καὶ οὐ τολμᾶν ἕνεκα τοῦ ἔρωτος ἀποθνήισκειν ὥσπερ ῎Αλκηστις, ἀλλὰ διαμηχανᾶσθαι ζῶν εἰσιέναι εἰς ῞Αιδου. τοιγάρτοι διὰ ταῦτα δίκην αὐτῶι ἐπέθεσαν, καὶ ἐποίησαν τὸν θάνατον αὐτοῦ ὑπὸ γυναικῶν γενέσθαι.

**A 14a** = Platón, Ion 536b

ἐκ δὲ τούτων τῶν πρώτων δακτυλίων, τῶν ποιητῶν, ἄλλοι ἐξ ἄλλου αὖ ἠρτημένοι εἰσὶ καὶ ἐνθουσιάζουσιν, οἱ μὲν ἐξ ᾿Ορφέως, οἱ δ᾿ ἐκ Μουσαίου, οἱ δὲ πολλοὶ ἐξ ῾Ομήρου κατέχονταί τε καὶ ἔχονται.

**A 14b** = Ísokratés, Busiris 38,5-39,7 (XI, 38-39)

τοιούτους δὲ λόγους περὶ αὐτῶν τῶν θεῶν εἰρήκασιν οἵους οὐδεὶς ἂν περὶ τῶν ἐχθρῶν εἰπεῖν τολμήσειεν· οὐ γὰρ μόνον κλοπὰς καὶ μοιχείας καὶ παρ᾽ ἀνθρώποις θητείας αὐτοῖς ὠνείδισαν, ἀλλὰ καὶ παίδων βρώσεις καὶ πατέρων ἐκτομὰς καὶ μητέρων δεσμοὺς καὶ πολλὰς ἄλλας ἀνομίας κατ᾽ αὐτῶν ἐλογοποίησαν. (39) ὑπὲρ ὧν τὴν μὲν ἀξίαν δίκην οὐκ ἔδοσαν, οὐ μὴν ἀτιμώρητοί γε διέφυγον, ἀλλ᾽ οἱ μὲν ... Ὀρφεὺς δ᾽ ὁ μάλιστα τούτων τῶν λόγων ἁψάμενος διασπασθεὶς τὸν βίον ἐτελεύτησεν.

**A 15** = Diodóros Sik., Bibliotheca historica V,64,4
ἔνιοι δ᾽ ἱστοροῦσιν, ὧν ἐστι καὶ Ἔφορος (FGrHist. 70 F 104; II,68), τοὺς Ἰδαίους Δακτύλους γενέσθαι μὲν κατὰ τὴν Ἴδην τὴν ἐν Φρυγίαι, διαβῆναι δὲ μετὰ Μυγδόνος εἰς τὴν Εὐρώπην· ὑπάρξαντας δὲ γόητας ἐπιτηδεῦσαι τάς τε ἐπωιδὰς καὶ τελετὰς καὶ μυστήρια, καὶ περὶ Σαμοθράικην διατρίψαντας οὐ μετρίως ἐν τούτοις ἐκπλήττειν τοὺς ἐγχωρίους· καθ᾽ ὃν δὴ χρόνον καὶ τὸν Ὀρφέα, φύσει διαφόρωι κεχορηγημένον πρὸς ποίησιν καὶ μελωιδίαν, μαθητὴν γενέσθαι τούτων καὶ πρῶτον εἰς τοὺς Ἕλληνας ἐξενεγκεῖν τελετὰς καὶ μυστήρια.

**A 16** = Theofrastos, Characteres 16,11
καὶ ὅταν ἐνύπνιον ἴδῃ [δεισιδαίμων], πορεύεσθαι πρὸς τοὺς ὀνειροκρίτας, πρὸς τοὺς μάντεις, πρὸς τοὺς ὀρνιθοσκόπους, ἐρωτήσων, τίνι θεῶν ἢ θεᾷ προσεύχεσθαι δεῖ.
καὶ τελεσθησόμενος πρὸς τοὺς Ὀρφεοτελεστὰς κατὰ μῆνα πορεύεσθαι μετὰ τῆς γυναικός – ἐὰν δὲ μὴ σχολάζῃ ἡ γυνή, μετὰ τῆς τίτθης – καὶ τῶν παιδίων.